# ΑΝΑΦΟΡΑ

ΤΩΝ

ΑΓΩΝΙΖΟΜΕΝΩΝ ΕΛΛΗΝΩΝ ΠΡΟΣ ΤΟΥΣ

ΚΡΑΤΑΙΟΤΑΤΟΥΣ ΕΥΡΩΠΗΣ

ΒΑΣΙΛΕΙΣ.

[ΚΑΤΑ ΤΟ ΕΤΟΣ 1821.]

ΚΕΡΚΥΡΑ:

ΤΥΠΟΓΡΑΦΕΙΟΝ ΣΧΕΡΙΑ.

1853

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

123235

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΤΟΙΣ ΦΙΛΕΛΛΗΣΙ

PERCY B. S[t]. JOHN, ΑΓΓΛΩι

ΚΑΙ

JOHN LEMOINNE, ΓΑΛΛΩι;

ΑΠΟΛΟΓΗΤΑΙΣ ΚΑΙ ΣΥΝΗΓΟΡΟΙΣ

ΕΝ ΕΤΕΙ ͵ΑΩΝΓ΄.

ΤΗΣ ΠΑΝΕΛΛΗΝΙΟΥ ΑΥΤΟΝΟΜΙΑΣ ΚΑΙ

ΕΘΝΙΚΟΤΗΤΟΣ

ΕΝΩΠΙΟΝ ΛΑΩΝ ΕΥΡΩΠΗΣ

ΤΗΝ ΔΕ ΤΗΝ ΠΡΟΣ ΤΟΥΣ ΧΡΙΣΤΙΑΝΟΥΣ ΒΑΣΙΛΕΙΣ

ΑΝΑΦΟΡΑΝ

ΕΛΛΗΝΩΝ

ΕΙΣ ΤΕΚΜΗΡΙΟΝ ΤΗΣ ΤΩΝ ΟΜΟΓΕΝΩΝ

ΕΥΓΝΩΜΟΣΥΝΗΣ

ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΕΚΔΟΤΗΣ

*ΣΠ. ΖΑΜΠΕΛΙΟΣ.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

On prévient le lecteur que cette Supplique, écrite en Grèce dans la langue maternelle par des personnes distinguées et très-influentes sur cette nation, a été, dès les premiers jours de la Révolution, envoyée en Europe, pour y être publiée.

La traduction est libre, ainsi que peuvent s' en assurer les savants Hellénistes. Mais elle réunit, à nôtre avis, le mérite de la fidélité et de l'exactitude. On sait d'ailleurs qu'il est impossible de faire passer dans une traduction toute l'énergie, toute la beauté, et les diverses figures qui caractérisent la langue originale. C'est pour cela que le Traducteur, sans cependant s'écarter du sens de l'Auteur, s'est vu obligé de s'accomoder au génie de la langue française.

C'est, nous croyons, cette même Supplique, qui a eté portée quelques mois après au Congrès de Vérone par des députés nommés de la part du Gouvernement Provisoire. On y verra figurer entre autres causes de la Révolution la violation des différents *bérats* accordés par les Sultans aux Patriarches, et relatifs aux droits, immunités, et privilèges de l'Église Grecque. Cette Supplique a été brusquement repoussée par les Diplomate de 1822. L'indépendance Grecque fut jugée une chimère, de la même manière qu' en 1853 on traite de romans l'Empire Grec de Byzance. Cependant, une Grèce pleine de verve et

de vigueur existe aujourd' hui dans la réalité, tandis qu' à son tour, la Turquie de 1822 n'est plus qu'une chimère et un romans, qu'une *expression géographique* dans la pensée de quelques uns de ses défenseurs.

On prie tous les amis éclairés de la liberté, et tous les Philhellènes de vouloir bien présenter ce document historique aux personnages les plus distingués de leur nation respective, afin qu'ils reconnaissent la légitimité des aspirations des Grecs à une nationalité largement constituée, et que dans tout moment critique leurs éfforts se réunissent à ceux de ce peuple pour le succès de ses vœux dans la lutte du Croissant contre la Croix, de la Liberté contre la servitude la plus avilissante, de l'esclave contre son tyran.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΚΡΑΤΙΣΤΟΙ ΚΑΙ ΣΕΒΑΣΤΟΤΑΤΟΙ

## ΤΗΣ ΕΥΡΩΠΗΣ ΒΑΣΙΛΕΙΣ,

ΟΙΑ μὲν οἱ παντλήμονες Ἕλληνες δεινὰ πεπόνθαμεν ὑπὸ τῶν ἀδικωτάτων καὶ τυραννικωτάτων Ὀθωμανῶν, οὔθ' ὑμᾶς λέληθεν, οὔτε τῶν πάντων τὴν εὐδαίμον' Εὐρώπην οἰκούντων οὐδένα. Πολλοὶ γὰρ τῶν Εὐρωπαίων εἶδόν τε, καὶ ὡς οἷόν τ' αὐτοῖς ἦν ἐξετραγῴδησαν, ξυγγραφῇ δηλώσαντες ἕκαστοι, ἡλίκα τὰ πρὸς ἡμᾶς τῶν τυράννων τούτων ἐκ πολλοῦ τοῦ χρόνου ἀδικήματα. Οἷα δὲ τὰ ὑπ' αὐτῶν ἤδη καθ' ἡμῶν τολμώμενα, λόγῳ μὲν ἐξαγγεῖλαι ἀδύνατον, ἀκούσαντι δ' ἂν ἄπιστα εἶναι δόξειε. Προσήκει οὖν Ὑμῖν τῆς ἐν Εὐρώπῃ εἰρήνης κηδομένοις, οὐχ ἧττον δὲ καὶ ὑπὲρ τῆς ἱερωτάτης αὐτῆς Θρησκείας, τῆς οὕτως ἀσεβῶς ὑπὸ τῶν ἐξωλεστάτων τούτων καταφρονουμένης, καὶ τῆς ὑμετέρας αὐτῆς εὐδοξίας, ἧς παρὰ πᾶσι τετυχήκατε τοῖς τὴν ὑφήλιον οἰκοῦσι, μὴ παριδεῖν τοὺς ταλαιπώρους ἡμᾶς Ἕλληνας ἀδίκως ἀπολλυμένους ὑπὸ τῶν βαρβάρων τούτων. Σχέτλιον γὰρ ἐφ' Ὑμῶν κραταιῶς βασιλευόντων, Ἕλληνας ὄντας ἀπολωλέναι ἄρδην, ὧν ἐχρῆν φείσασθαι, τό, τε τοῖς Ἑλλάδος ὄνομα σεβομένους, καὶ τῶν ἐκ τῆς σοφίας τῶν προγόνων ἡμῶν ἀγαθῶν ὑμῖν αὐτοῖς ἐγγινομένων μνημονεύοντας. Οὐ δὲ γὰρ ἀδίκων, ὡς ἄν τις φαίη ὀρεγόμενοι, εἰς τοῦτ' ἀνάγκης κατέστημεν, ὥστε θανεῖν μᾶλλον ἐν ὅπλοις προαιρεῖσθαι, ἢ ζῆν βίον ἀβίωτον, ἀλλὰ τὰ αἴσχιστα πάσχοντες ὑπ' αὐτῶν· οἵπερ εἰς τοσοῦτον τυραννίας προκεχωρήκασιν, ὥστ' ἀπογνωσθέν-

τας ἠνάγκασαν καθάπαξ ἀποθανεῖν μᾶλλον ἑλέσθαι, ἢ καθ' ἡμέραν ὑπ' αὐτῶν θανατουμένους ἡμᾶς αὐτοὺς ὁρᾶν.

Εἰ μὲν οὖν περὶ ὧν πάσχομεν, καὶ τῆς βοηθείας, ἧς παρ' Ὑμῶν δεόμεθα τυχεῖν, προὔκειθ' ἡμῖν ἁπλῶς εἰπεῖν, Ὑμῖν τ' ἂν ἦν πρεπωδέστατον, καὶ ἡμῖν ἐν τῷ παρόντι ἀναγκαιότατον, ἁπλῆν τὴν ἡμῶν δέησιν ἐκθεῖσιν, οὐδὲ ἄλλων προσδεῖσθαι λόγων, τῶν θ' ὅσων οἰκτρῶς πάσχομεν ἱκανῶν ἂν εἰς τὸ ὑμᾶς πεῖσαι πρὸς βοήθειαν ἡμῶν ὄντων. Ἐπεὶ δέ τισιν, ὑφ' ὧν οὐδὲ προσεδόκησεν ἄν τις τοιαῦτα πάσχων ἀντιλέγεσθαι, ὁμοθρήσκων ἡμῖν ὄντων, τὸ ἐγχείρημα ἡμῶν ἄλλην τινὰ γνώμην ἐνέβαλεν, ὡς ἐν δίκῃ κινδυνεύοιμεν, ἐξοπλιζόμενοι κατὰ τῶν ἡμῶν κρατούντων, πειρατέον διὰ βραχέων αὐτούς θ' ὑπομνῆσαι τῶν ὅσα πάσχομεν, καὶ πρὸς ὑμᾶς φανερώτερα τὰ καθ' ἡμῶν τῶν τυράννων τούτων ἀδικήματα καταστῆσαι. Ἐντεῦθεν γὰρ οἰόμεθα τὸ, θ' ἡμῶν ἂν ἔργον δειχθῆναι εὐσεβέστατον, καὶ τὴν παρ Ὑμῶν βοήθειαν ἡμῖν ἀναγκαιοτάτην, καὶ λόγῳ δικαιοτάτῳ γεννησομένην· τάχα δὲ καὶ οἱ ἡμῖν ἀντιλέγοντες ἐν ἐπιγνώσει τῆς σφῶν αὐτῶν εὐδαιμονίας γενόμενοι, ἄδικα ἡμᾶς πάσχειν φήσουσι, καὶ ἑαυτοὺς νομιοῦσιν εὐδαίμονας, ὡς τὸ εἰκὸς, ὑφ' Ὑμῶν νομιμώτατα βασιλευόμενοι. Καὶ πρὸς Θεοῦ, ἀνάσχεσθε ἡμῶν ἐλεεινολογούντων, καὶ διηγουμένων ἀληθέστατα!

Συμπάντων γὰρ τῶν τυραννίδα τινὰ ὁπωσδήποτε κτησαμένων, ἐπισκοπῶν, ὅσα ἐξ ἀρχῆς ἐς γ' ἐφ' ἡμᾶς διεσώθη σοφοῖς ἀνδράσιν ἱστορημένα, οὐδένα τις ἂν εὕροι, οὔτ' ἀδικώτερα, οὔτε βιαιότερα τῶν τυράννων τούτων διαπραξάμενον. Τῶν μὲν γὰρ ἄλλων ἤρκεσεν ἄντῳ ἓν τυραννίας εἶδος καταστήσαντα, πρὸς ὃ ἂν ἕκαστος ἐπιῤῥεπὴς ὢν, τὸ εὔδαιμον ἑαυτῷ ὁρίσαιτο, κατ' ἐκεῖνο καὶ τοὺς ὑπὸ χεῖρα βιάζεσθαι. Οὗτοι δὲ ἅπαν εἶδος τυραννίας συμπαραλαβόντες, καὶ ὅ,τι περ ἄδικον, ἀνόσιον, στυγητὸν παρ ἑκάστῳ τῶν ἐθνῶν ἐνομίζετο εἰς ἓν ἑνώσαντες, τοιαύτην ἑαυτοῖς τὴν τυραννίδα κατέστησαν,

οἵαν οὐκ ἄν τις ἔχοι οὔτε λόγῳ ὁρίσασθαι, οὔτε νῷ φαντασθῆναι. Ἵνα γοῦν τ' ἄλλα παρῶμεν, ὅσ' ἀπανθρώπως οὗτοι καθ' ἡμῶν τετολμήκασιν ἐξ ἀνατολῆς εἰς Εὐρώπην ὁρμώμενοι, ὑφ' οὐδενὸς μὲν ἀδικηθέντες, τύραννοι δὲ βουλόμενοι τῆς οἰκουμένης ἁπάσης γενέσθαι, φθάσαντες εἰς Κωνσταντινούπολιν, καὶ ταύτης φεῦ, Κύριοι γενόμενοι, συνθήκας πρὸς τὸν τότε πατριαρχεύοντα ἐπεποίηντο, πρὸς ἃς ἐχρῆν ἡμᾶς τε τοὺς ὑπὸ χεῖρα ἤδη γεγονότας βιοτεύειν, καὶ αὐτοὺς πολιτεύεσθαι· καί τοι καὶ ταύτας ὡς αὐτοῖς ἐδόκει ἀρίστας εἶναι πρὸς τὸ τυραννεῖν γεγεννημένας, ἡμῖν δ' ἀδικωτάτας, καὶ ἀφορητοτάτας, ἀλλ' οὖν γεγεννημένας ἤδη, ἡμῶν τοῖς πᾶσιν ἀμηχανόντων. Ἃς δὴ συνθήκας φαμὲν, αὐτίκ' ἔπειτα ἀθετήσαντες, πρὸς ἅπαν εἶδος κακουργίας ἐτράπησαν, κυρίους σφᾶς αὐτοὺς καταστήσαντες τῶν τε κτημάτων ἡμῶν, καὶ τῶν φιλτάτων, καὶ αὐτῆς ἡμῶν τῆς ζωῆς· καὶ ἡμᾶς τοὺς ἀπίστους (οὕτω γὰρ τοὺς Χριστιανοὺς καλοῦσιν) ἐπ' αὐτῷ τούτῳ ἐν κόσμῳ φῦναι ἐκήρυττον, ἐφ' ᾧ ταῖς ἐκείνων δουλεύειν θελήσεσι, καὶ ταῖς ἐπιθυμίαις ὑπηρετεῖν. Ἡμεῖς δὲ ἁπάντων, ὅσα τε θεῖοι νόμοι καὶ αὐτοὶ οἱ τῶν ἀνθρώπων, ἑκάστῳ πρὸς τὸ ζῆν δεδώκασι, περιῃρημένοι, γυναῖκάς τε ὁρῶντες ὑβριζομένας, καὶ παῖδας τοὺς ἡμῶν ἁρπαζομένους ὑπὸ τῶν τυράννων, καὶ ἡμᾶς αὐτοὺς ὁσημέραι ἀκρίτως ἀπολλυμένους, οὐδ' ἀπαλλαγήν τινα τῶν δεινῶν πόθεν ἐννοοῦντες, τοὺς ἀποιχομένους ἐμακαρίζομεν, ὡς ἀπαλλαττομένους ἤδη τῶν δεινῶν, ἑαυτοὺς ἀθλίως ζῶντας ταλανίζοντες. Τηλικούτων δ' ὄντων τῶν καθ' ἡμῶν ἀδικημάτων, διατελοῦμεν βιοτεύοντες βίον παραδοξολογώτατον, καὶ τῶν ἀλόγων αὐτῶν ζώων τάχ' ἀθλιώτερον. Ταῦτα μὲν γὰρ καίπερ λόγου ἀμοιρήσαντα, ἀλλάγε τῇ φύσει αὐτῇ ἀγόμενα, περὶ συντηρήσεως ἑαυτῶν τε καὶ τῶν γεννημάτων φροντίζει· καὶ εἴτις τῶν νεοττῶν πτηνοῦ τινος ἐφάψαιτο, κατίδοι ἂν τὴν τέξασαν ἐξαγριουμένην, καὶ ἐπεγειρομένην κατὰ τοῦ τολμήσαντος,

ἵνα τοῖς αὐτῆς τέκνοις ἐπαμύνῃ. Καὶ εἴπερ αὐτὰ καταδιώκεται, τῇ φυγῇ σώζεσθαι ἀναγκαζόμενα, τῆς καθ᾽ αὐτὰ δυνάμεως μὴ ἐξικνουμένης τῆς τῶν διωκόντων πρὸς ἀνθίστασιν· ἡμῖν δ᾽ οὐδὲ τοῦτ᾽ ἐξῆν ποιεῖν, εἰ καὶ νόμῳ φύσεως ὑπαγορευόμενον. Τὸ γὰρ μὴ παραδοῦναι αὐτοῖς τὰ φίλτατα ὅ,τι ἂν εἴη βουλομένοις χρήσασθαι, ἀνταρσίας ἐκρίνετο, καὶ τὸ τῇ φυγῇ ἐκ πόλεως εἰς πόλιν σωθῆναι βούλεσθαι, ἔργον ἐπαναστάσεως. Πολλοῦ γε καὶ δεῖ παισὶ, καὶ φίλοις, καὶ γείτοσιν ἐπαμῦναι, δεινὰ πάσχουσι. Τηνικαῦτα γὰρ ἁπάντων αἰκισμῶν, καὶ ἁπασῶν βασάνων, καὶ μυρίων ἂν θανάτων ἦμεν ἄξιοι, ὡς τὰ ἐκείνων δῆθεν δικαιώματα ἀφαιρεῖσθαι βουλόμενοι. Εἶτα, ὦ πρὸς Θεοῦ, ἔστι τις ἀνθρώπων τοιαῦτα πάσχων, ὃς οὐκ ἂν ἕλοιτο καθάπαξ μαχόμενος ἀποθανεῖν, ἀντὶ τοῦ καθ᾽ ἡμέραν θανάτου; ἢ φήσειεν ἄντις ἡμᾶς δικαίως κινδυνεύειν, τοσαῦτα δεινὰ ὑπ᾽ αὐτῶν πάσχοντας, καὶ μὴ τῆς παρ᾽ Ὑμῶν βοηθείας δικαίως τυχεῖν; εἰ μὲν οὖν τὸ ὑπὲρ τηλικούτων ἀδικημάτων ἐξοπλίζεσθαι ἄδικον, οὐχ ὁρῶμεν, ὁποῖον ἂν εἴη τὸ δικαίως τοῖς ἀδικοῦσιν ἐπεξιέναι. Φέρε γὰρ εἴτις σε παῖδα, ἢ γυναῖκ᾽ ἀφέλοιτ᾽, ἆρ᾽ ἂν ἀνάσχοιο ταῦθ᾽ ὑπ᾽ ἐκείνου πάσχων; τί φαμεν, γυναῖκα, ἢ παῖδα; μικρόν τι ἀργυρίου, εἴ τις βουληθείη σε ἀδίκως ἀφελέσθαι, αὐτίκα δὴ μάλα ἀγανακτήσας, καὶ δίκας ἀπῄτεις παρὰ τοῦ τολμήσαντος, εἰς δικαστήρια ἰὼν, εἰς βουλὰς, πρὸς αὐτὸν ἂν τὸν βασιλέα τὰ σὰ δεινὰ ἐβούλου ποιῆσαι δῆλα, πανταχόθεν ζητῶν τόν σε ἠδικηκότα τιμωρήσασθαι. Μὴ οὖν ἐπὶ σμικροτάτοις ἀδικήμασιν αὐτὸς ἀγανακτῶν, ἐπὶ τοῖς μεγίστοις ἡμᾶς μὴ ἀγανακτεῖν θέλε. Ἀναισθησίας τοῦτό γε, καὶ πόῤῥω που ἀνθρωπίνης φύσεως, ἀναλγήτους ἡμᾶς εἶναι καὶ ἀπαροργίστους. Μὴ δὲ τὸ ἔργον ἡμῶν ὡς ἄδικον διάβαλε. Τῶν αὐτῶν γὰρ τοῖς ἄλλοις ἀνθρώποις ἐκφύσεως τετυχήκαμεν, καὶ ἡμεῖς. Μηδὲ βούλου, ὅσα μὲν παρ᾽ ὑμῖν τοῖς Εὐρωπαίοις, μικρά γε καθ᾽ αὐτὰ ἀδικήματ᾽ ὄντα, τιμωρίας τῆς μεγίστης

κρίνεσθαι ἄξια, ἃδ' ἡμεῖς ἀδικούμεθα, τηλικαῦτα ὄντα, λέγειν δικαίως ἀδικεῖσθαι· ἀλλ' εἴτις σοι λόγων πειθώ, ταύτῃ χρῶ σὺν ἡμῖν ἱκετεύων, καὶ δεόμενος, καὶ πείθων τοὺς εὐσεβάστους βασιλεῖς, ἵνα ἡμῖν τὴν ταχίστην βοηθήσωσι.

Τοιαύταις μὲν οὖν, αἷς εἴπομεν ταῖς συμφοραῖς χρώμενοι οὐδὲν ἐτολμῶμεν ἐπιχειρεῖν κατὰ τῶν ἀπίςων τούτων τυράννων, ἀλλ' ἐξ ὕψους περιεμένομεν βοήθειάν τινα, εἴπως τὸ θεῖον ἐπινεύσειε ταῖς ΤΩΝ ΕΥΣΕΒΕΣΤΑΣΤΩΝ ΒΑΣΙΛΕΩΝ καρδίαις, οἴκτῳ καμφθέντων ἐπὶ τῇ ἡμῶν συμφορᾷ, ἵνα ἐκ τῆς δεινῆς ταύτης αἰχμαλωσίας ῥύσωνται· ὀψὲ δ' ἡμῖν ποθ' ὑποφανῆναι τῆς ἡμῶν σωτηρίας ἐλπίς τις ἔδοξε, τῆς Ἱερᾶς καὶ Σεμνοτάτης τῶν τῆς Εὐρώπης ΧΡΙΣΤΙΑΝΙΚΩΤΑΤΩΝ ΒΑΣΙΛΕΩΝ συνελεύσεως ἐν τῇ φιλανθρωποτάτῃ Γερμανίᾳ γενομένης. Ὠήθημεν γὰρ τοῖς ΓΑΛΗΝΟΤΑΤΟΙΣ ΒΑΣΙΛΕΥΣΙ μελήσειν τι τῶν ἡμετέρων συμφορῶν· εἰς ὃ οἱ μὲν πρὸς ναοὺς, οἱ δὲ πρὸς θείους βωμοὺς ἔτρεχον, καὶ ηὔχοντο, ἵν' ἀποβαίη ἀληθῆ, ὅσα ἕκαστοι διελογίζοντο. Οἱ δὲ καὶ ταῖς ἱεραῖς καὶ προφητικαῖς βίβλοις ἐνέκυπτον, ἐκεῖθεν κατιδεῖν τι ἀγωνιζόμενοι, εἴπερ ὁ καιρὸς οὗτος εἴη, καθ' ὃν ἔδει τῶν συμφορῶν ἡμᾶς ἀπαλλαγῆναι. Ἀλλ' οὐ ταῦθ' ὥσπερ ᾠήθημεν ἀπέβη· καὶ πάλιν ἐν αἰχμαλωσίᾳ ἡμεῖς, καὶ πάλιν ἐν δεινοῖς· καὶ εἴπερ τὰ δεινὰ ἔστη ἐνταῦθα, φορητά τις ἂν ἔφη εἶναι καίπερ ὄντ' ἀφόρητα. Ὁρᾶτε, πρὸς Θεοῦ, ἡλίκα τὰ παρόντα, ἐφ' οἷς, οὐκ ἔστιν ὅστις σαρκίνην ἔχων καρδίαν, οὐκ ἂν ἐθρήνησεν!

Ὁ γὰρ ἐν Ἰωαννίνοις ἡγεμὼν, καταδιωκόμενος ὑπὸ τοῦ πρωτίστου τυράννου, τοὺς ὑπ' αὐτοῦ Ἕλληνας ἐπὶ τὰ ὅπλα παρεκάλει, αὐτὸν εἶναι λέγων τὸν καιρὸν τοῦ αὐτοὺς τῶν δεινῶν ἀπαλλαγῆναι, εἰ μόνον ἐκείνῳ κινδυνεύοντι ἐθελήσειεν βοηθῆσαι. Ταύτης δὲ τῆς ἐν Ἠπείρῳ ταραχῆς ἀκούσας ὁ Πρίγκιψ Ὑψηλάντης, ἀνὴρ τε φιλόπατρις, καὶ εἰδὼς ἄλλως τοὺς ὁμογενεῖς αὐτῷ ἐλεεινὰ πάσχοντας, μικρὰ τοῦ ἐν Ῥω-

σίᾳ ἀξιώματος, οὗ ἠξίωτο φροντίσας τότε, ἔρχεται τοῖς ὁμογενέσιν ἐθελοντὴς συγκινδυνεύσων, εἴπερ οὗτοι ἐθελήσουσιν αὐτῷ ἀκολουθῆσαι. Οὕτω δὴ εἰς Δακίαν εἰσβάλλει σὺν Ἕλλησί τισιν, οὓς ἐν Ῥωσίᾳ περιπολουμένους εὗρεν· ὀλίγων μέν τινων αὐτῷ τῶν ἐκ τῆς Ἑλλάδος συμφρονησάντων, τῶν δὲ πλείστων ἡσυχαζόντων φεῦ· ἀπώλετο γὰρ ἂν ὁ κάκιστος τῶν τυράννων, εἴπερ σύμπαντες τότε συνεξανίσταντο, ἀπαρασκεύαστος ληφθείς. Τούτων δ' ὁ τύραννος ἀκούσας, καὶ συκοφάνταις ὑπαχθείς, κοινὴν εἶναι τοῖς Ἕλλησι τὴν κίνησιν ἐκ συνομωσίας, λέγουσιν, ἐπιτίθεται τοῖς Πελοποννησίοις, πόλεις ἐμπιπρῶν, ἀνθρώπους φονεύων, καὶ πᾶν δεινὸν αὐτοὺς ἐργαζόμενος. Οἱ δὲ τοιαῦτα πάσχοντες, οὐκ εἶχον ὅπως σωθῶσιν, ἢ λαβόντες τὰ ὅπλα ἀποθανεῖν. Τούτων δὲ ταῦτα πασχόντων, ἀγριώτερος ἑαυτοῦ ὁ τύραννος γενόμενος, τόν τε παναγιώτατον ἡμῶν Πατριάρχην, καὶ τὴν περὶ αὐτὸν Ἱερὰν Σύνοδον καταδικάζει θανάτῳ ἀσχημονεστάτῳ· ἐφ' οἷς καταδικαζομένοις κἂν τὰ ἀναίσθητα αὐτὰ ὄντα ἤλγησαν, καὶ φωνὴν ἀφιέντα διέῤῥηξεν, ἐπιμαρτυρόμενα, οἷα οἱ παντλήμονες οὗτοι καὶ ἱεροὶ ἄνδρες δεινὰ πάθοιεν, μήτοι γε δὴ ἄνθρωπος αἰσθήσεως καὶ λόγου τυχών, δρῶν αὐτοὺς ἐξ αὐτοῦ τοῦ θείου ναοῦ ἑλκομένους, καὶ τὴν ἐπὶ θανάτῳ ἀγομένους οἰκτρότατα. Ἡμέρα δ' ἦν τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, ὅτ' ἐκεῖνοι ταῦτ' ἔπασχον. Ἡνίκα ὑμεῖς ΟΙ ΧΡΙΣΤΙΑΝΙΚΩΤΑΤΟΙ ΒΑΣΙΛΕΙΣ, καὶ ὁ ὑφ' ὑμῶν σύμπας χριστώνυμος λαὸς τῆς Εὐρώπης, ἐπανηγυρίζετ' εὐφραινόμενοι, τότ' ἐκείνοις ἐν τῷ θείῳ ναῷ πανηγυρίζουσιν, ἐξαίφνης ἐπιτίθενται οἱ βάρβαροι σὺν κραυγῇ, καὶ θορύβῳ· τοὺς μὲν τῶν χριστιανῶν φονεύσαντες, τοὺς πλείστους δὲ τρώσαντες, τούτους συλλαμβάνουσι, καὶ ἀπάγχουσι. Καὶ οὐ ταῦτα μὲν ἐν Κωνσταντινουπόλει μόνον τὰ δεῖν' ἐπράττετο, αἱ δ' ἄλλαι πόλεις τῆς Ἑλλάδος ἐν ἡσυχίᾳ ἦσαν, ἀλλὰ πανταχοῦ τὰ δεινά, φόνος ἱερέων, καὶ Ἀρχιερέων καὶ τῶν προκρίτων ἑκάστης πόλεως,

ἐμπρησμοὶ τῶν θείων ἁπάντων ναῶν, πυρπολήσεις οἰκιῶν, καὶ ἄλλα μυρία, ὅσα ἰδὼν μὲν ἄν τις ἐξεπλάγη, καὶ ἔφριξε, λόγῳ δὲ παραστῆσαι ἀδύνατον. Οἱ οὖν οὕτω δεινῶς θανατούμενοι, καὶ ἐξ ἀπογνώσεως λαβόντες τὰ· ὅπλα, φήσειεν ἄν τις ὀρθῶς, ὅτι δικαίως πάσχοιεν, ἢ ἀδίκως σωθῆναι βούλοιντο; Ἐχρῆν οὖν φέρειν; ἀλλ' ἀφόρητα παντὶ ἀνθρώπῳ τὰ δεινά. Ἐχρῆν νὴ δία γε ἐᾷν αὐτοὺς θανατοῦσθαι οἰκτρῶς; ἀλλ' ἀδύνατον ἦν ἐκτὸς τῆς ζωώδους φύσεως γενέσθαι, καὶ ἀναισθήτους ἡμᾶς εἶναι. Μὴ οὖν πρὸς θεοῦ, ΘΕΙΟΤΑΤΟΙ ΒΑΣΙΛΕΙΣ, μὴ τοὺς καθ' ἡμῶν ταῦτα λέγοντας, ἀληθῶς λέγειν οἴεσθαι, μηδὲ τῆς παρ' ὑμῶν βοηθείας ἡμᾶς ἀπαξιοῦτε.

Καὶ μὴν οὐδὲ πρὸς ἐκεῖνον τὸν ἄφυκτον αὐτῶν λόγον δυσχερὲς ἀπαντῆσαι, ὡς νομίμῳ βασιλεῖ ἐπεξήλθομεν, ὑπήκοοι αὐτοῦ ὄντες. Οὐ γὰρ ὁ ταῦτα πράττων τοὺς αὐτοῦ ὑπηκόους βασιλεὺς, ἀλλὰ τυράννων τυραννικώτατος. Ὁ γὰρ βασιλεὺς, βάσις καὶ θέμεθλος ἔθνους τινὸς καὶ ὤν, καὶ λεγόμενος, ἀεὶ, τὸ συμφέρον, καὶ εὔδαιμον τοῖς ὑπηκόοις διώκει, ὡς τῶν ἀξυμφόρων ἐκείνοις καὶ ἐπιβλαβῶν, καὶ αὐτοῦ τούτου καθαπτομένων. Ἐς ὅ καὶ φύλαξ τῶν κειμένων νόμων καθέστηκε, καὶ πρὸς πᾶν οἱονδήποτε νεωτερισμὸν ἐπαγρυπνεῖ, ὅπως οἱ βασιλευόμενοι μηδὲν ἄδικον ὑπὸ κακούργων τινῶν πάσχωσι. Καὶ μάρτυρες σαφέστατοι, Ὑμεῖς αὐτοὶ οἱ θειότατοι τῆς Εὐρώπης βασιλεῖς· οἳ πρόνοιαν τῆς εὐδαιμονίας τῶν ὑφ' ἡμᾶς λαῶν ποιούμενοι, ἅπαντας τοὺς κακουργοῦντάς τι πρὸς τὰ καλῶς καθεστῶτα παιδεύετε, ὡς φθορὰν τοῦ λαοῦ τὰ τοιάδε τῶν ἐπιχειρημάτων ὑπάρχοντα· καὶ τῆς οἰκοδομῆς οὕτω κινδυνευούσης, ἀνάγκη καὶ τὰ τῆς βάσεως αὐτῇ συγκινδυνεύειν. Οὗτος δὲ οὐ τὴν αὐτὴν οὔθ' ὑμῖν, οὔτε τοῖς ὑμετέροις προγόνοις ὁμοίαν ἔσχε γνώμην, ἀλλὰ τοσοῦτον διαφέρουσαν, ὅσον οὐρανὸς ἄπεστι γῆς. Εἶτα πῶς, εὔφημ' ἄντις λέγοι περὶ τῶν ἀληθῶς βασιλέων, προ-

σειπὼν βασιλέα, τὸν τῇ φθορᾷ τῶν ἰδίων ὑπηκόων τὸ εὐδαιμον αὐτῷ ὁριζόμενον; τὸν μηδένα νόμον ἔχοντα, μηδὲ δυνάμενον ἔχειν; αὐτίκα καὶ γὰρ καταστήσας τὴν αὐτοῦ ἀρχὴν, ἐχρήσαθ' ἡμῖν, ὅ,τι περ αὐτῷ εἴη βουλομένῳ συνθήκας ἀθετῶν, ἁρπάζων, καὶ περιαιρῶν τὰς οὐσίας, ὑβρίζων περὶ τὰ φίλτατα, φονεύων ἀπανθρώπως, καὶ πάντα ποιῶν ἡμᾶς, ὅσα ἡ βάρβαρος αὐτοῦ γνώμη, καὶ ἄπληστος ἐπιθυμία, αὐτῷ μὲν ὡς ἡδέα ὑπετίθετο, ἡμῖν δ' ὀλεθριώτατα ὄντα; ὅτι τῶν ἀδυνάτων ἦν τοὺς αὐτοὺς ἡμῖν τε κἀκείνῳ συμφέρειν νόμους, ἀντικειμένης τῆς αὐτοῦ θρησκείας πρὸς τὴν ἡμῶν τῶν χριστιανῶν. Τῶν γὰρ θρησκευτικῶν αὐτοῦ νόμων, τῶν αὐτῶν καὶ πολιτικῶν ὄντων, οὐκ ἐβούλετ' ἄλλως τοὺς ὑπὸ χεῖρα πολιτεύεσθαι, ἢ πρὸς ἐκείνους. Τί φαμεν πρὸς ἐκείνους; εἴη γὰρ ἂν ἴσως οὐ τοσαῦτα καὶ τηλικαῦτα τὰ δεινά. Τῶν δὲ θρησκειῶν τοσούτῳ διϊσταμένων ἀλλήλων, οὐχ ὡς ἀνθρώπους ἡμᾶς, ἀλλ' ὡς κύνας ἐθεώρουν. Διὸ καὶ ἑκάστη ἐπιθυμία, νόμος ἦν ἤδη κεκυρωμένος, ὅσα τε καθ' ἡμῶν ἐβούλοντο πρᾶξαι, τοσοῦτοι νόμοι ταῦτα ἦταν· ὥστ' ἀνάγκη ἦν, ἤτοι τὰ αἴσχιστα πάσχειν, ἢ ὁμοθρησκεῖν ἐκείνῳ· ὅπερ δὴ πλεῖστοι τῶν τὴν Ἀσίαν οἰκούντων χριστιανῶν πεπόνθασι, παντοίως αἰκισθέντες. Τελευταῖον δὲ, καὶ πρὸς ὃν τὰς συνθήκας περὶ τοῦ γένους ἡμῶν ἐπεποίηντο, καὶ πρώτιστον τῆς ἡμῶν θρησκείας ἐθεώρουν, καὶ κεφαλὴν τοῦ γένους αὐτοὶ ἐκεῖνοι ἐκάλουν οἱ τύραννοι, τοῦτον ἀπανθρώπως ἀπέκτεινα ν αἰσχίστῳ θανάτῳ. Εἰ τοίνυν ὁ τοιοῦτος δίκαιος κληθῆναι βασιλεὺς, ἡμεῖς μὲν οὐχ ὁρῶμεν, ἕτερος δέ τις τυραννικώτατον καὶ ἐξωλέστατον εἰπὼν, οὐκ ἂν ἁμάρτοι· καί γε εἰκότως. Τὸ γὰρ τυραννεῖν παντὶ νόμῳ ἀντιδέδηκεν· ἐς ὃ οὐδὲ τύραννον νόμιμον ἄν τις εἰπὼν, ὀρθῶς προσείποι· οὐ δὲ γὰρ φονεὺς, οὐδὲ κλέπτης, οὐδὲ ὁ ἀδίκως τι τὸν ἄλλον ἀφαιρούμενος, νόμιμος ἂν κληθείη· καὶ ταῦτα τῶν ὑπ' αὐτῶν ἀδικημάτων μικρῶν καὶ ἁπλῶν ὄντων, καὶ ἐν μέρει

θεωρουμένων. Τυράννου δ' ἀδικήματα καὶ μεγάλα, καὶ πολύπλοκα, καὶ πρὸς ὅλον ἔθνος ἐν γένει. Ἐντεῦθεν δὲ ῥᾷστ' ἄν τις κατίδοι, ἡλίκης ἀτοπίας ἔχεται, ὅπερ τινὲς ἡμῶν κατηγοροῦσιν, ὅτι τὸ ἡμέτερον ἔργον οὐδὲν διενήνοχε τῶν, ὅσα τινὲς ἐπεχείρησαν ποιεῖν, στασιάζοντες πρὸς νομιμωτάτους, καὶ εὐσεβάστους βασιλεῖς.

Οἱ πλεῖστοι γὰρ τῶν ἐν ταῖς εὐνομουμέναις πολιτείαις διατίθενται τὸν εἰρημένον τρόπον, ἤτοι περί τινος οἱουδήποτε κέρδους, καὶ ὑπολαμβανομένης τιμῆς, ἢ καὶ περὶ ἄλλων τινῶν, ὅσα πέφυκεν, οὐ λόγῳ δικαίῳ παροξύνειν τὸ ἑκάστου φιλότιμον. Τὸ μέντοι ἔργον τὸ ἡμέτερον, οὐκ ἄν τις νοῦν ἔχων εἴποι τοιοῦτον εἶναι, ἐκ πολλοῦ μὲν τοῦ χρόνου τυραννουμένων, καὶ τὰ δεινὰ ὁσημέραι καθορώντων ἐπαύξοντα, καὶ οὐ κτήματα, οὐδὲ φίλτατα μόνον ἀφαιρουμένων, ἀλλὰ καὶ περὶ τῇ ζωῇ ἡμῶν δεδιότων, μὴ ἐν αὐταῖς ταῖς τῶν πόλεων ἀγυιαῖς περιπατοῦντας ἐπεξελθών ποθεν τῶν τυράννων τις ἡμᾶς διαχρήσεται· οὐ γὰρ ὁ καλούμενος αὐτὸς τύραννος, ἢ οἱ κατὰ πόλεις ὑπ' αὐτοῦ ἕκαςοι πεμπόμενοι ἡγεμόνες, ἐτυράννουν μόνον. Εἴη γὰρ ἂν εἴπερ οὐ τηλικοῦτον τὸ δεινὸν, καί περ ὂν δεινὸν, ἀλλὰ καὶ αὐτὰ τὰ τούτων ἀνδράποδα τυραννικώτατοι δεσπόται ἐγίνοντο, καὶ κύριοι τῆς ζωῆς ἡμῶν. Ἐπεὶ οὐδὲ τὸ κτεῖναί τινας τῶν Ἑλλήνων χριστιανῶν ἐν ἐγκλήματι παρ' αὐτοῖς καθέστηκεν, εἰ καὶ μηδὲν ἀδικήσαντας. Τὸ γὰρ ἄπιστόν τινα φονεῦσαι, ὡς ἂν αὐτοὶ φαῖεν οἱ τύραννοι, ἴσα τῷ κύνα τινὰ κτεῖναι παρ' αὐτοῖς νομίζεται· ἀλλὰ τὸ ἀνθίστασθαι τῷ φονεύοντι, τὸ, εἰ δυνατὸν, ὑπεκφυγεῖν τὸν φονέα, καὶ σωθῆναι, ταῦτ' ἦν παράνομα, ταῦτα τοσαῦται κλοπαὶ, ταῦτ' ἀδικήματα τῆς ἐσχάτης τιμωρίας ἄξια. Τοὺς τοίνυν οὕτω δεινῶς τυραννουμένους, καὶ διὰ τῶν ὅπλων βουλομένοις σωθῆναι, παρεικάσειεν ἄν τις ὀρθῶς τοῖς ἐν ταῖς εὐνομουμέναις πολιτείαις στασιάζουσι; καὶ μὴν οὐδὲ νομίμῳ βασιλεῖ ὄντι ἐπεξήλθομεν. Τοῖς μὲν γὰρ Ὀθωμανοῖς εἴη

ἂν νόμιμος βασιλεὺς, ὡς τοῖς αὐτοῖς νόμοις τούτῳ κἀκείνοις πρὸς τὸ τυραννεῖν ἡμᾶς χρωμένοις, ἡμῖν δ' ἐστὶ τύραννος ἀφορητότατος, καὶ ἐξωλέστατος. Σκέψασθε δὴ ὦ ΚΡΑΤΙΣΤΟΙ ΒΑΣΙΛΕΙΣ, ἡλίκα πάσχοντες κατ' αὐτῶν ἐξοπλιζόμεθα, καὶ λογίσασθε, εἴπερ ἀληθῆ, ὅσα καθ' ἡμῶν πρὸς ὑμᾶς διαβάλλουσιν, οἱ τοῖς μηδὲν μὲν δεινὸν πάσχουσι, μηδὲ ἤθη, μηδὲ γλῶτταν, μηδὲ θρησκείαν, μηδὲ νόμους τοῦ πολιτεύεσθαι ἔχουσι διαφέροντας, ὅμως δ' ἐπιτιθεμένοις τοῖς νομιμωτάτοις αὐτῶν βασιλεῦσι, τὸ πρὸς τοὺς καθεστῶτας νόμους ζῆν, δουλείαν εἶναι κακῶς οἰομένοις, δέον τοὐναντίον φρονεῖν, καὶ νομίζειν ἀσφάλειαν καὶ σωτηρίαν τῶν πολιτῶν, τὸ πρὸς τὴν πολιτείαν ζῆν· λογίσασθε, φαμὲν, εἴπερ ἀληθῆ λέγουσιν, οἱ τοῖς τοιούτοις ἡμᾶς παραβάλλοντες, καὶ εἴπερ οὐκ ἐνδίκῃ βουλόμεθα τηλικαύτης τυραννίδος ἑαυτοὺς ἐξελέσθαι, καὶ σὺν ὑμῖν βοηθήσασι τοὺς ἀσεβεῖς τιμωρήσασθαι· εἰ γὰρ δυνάμει καὶ οὐ δικαιοτάτῳ λόγῳ ἡμῶν κεκρατήκασι, δίκαιον τούτους καθαιρεθῆναι τοὺς τυράννους. Διόπερ καὶ τὸ ἡμέτερον ἔργον εἰς ταὐτὸ τετύχηκε τῷ ὑμετέρῳ θείῳ φρονήματι, οἵπερ οὐ βούλεσθε τὸν ἄρχοντα ἄδικον εἶναι καὶ ἄνομον. Οἱ δὲ τὰ τοιαῦθ' ἡμῶν κατηγοροῦντες, οὐκ ὀρθῶς λογίζονται. Ἐοίκασι δὲ τοῖς τὰ αἴσχιστα ἡμᾶς πάσχειν βουλομένοις, καὶ ταῦτα μηδὲν δεινὸν ὑφ' ἡμῶν παθόντες, δέον ἡμῖν συνηγορεῖν. Ὠόμεθα γὰρ ἡμεῖς μηδένα εἶναι τὸν, οἷς αἰτοῦμεν, ἀντιλέγοντα. Μᾶλλον δ' ἐξ ἀνάγκης κινηθεῖσι κατὰ τῶν ἀνόμων τυράννων, ἅπαντας ἂν τοὺς χριστιανοὺς τῆς Εὐρώπης συγκινηθῆναι ἡμῖν βοηθήσοντας, οὐχὶ δ' ὡς ἄδικα πραττόντων κατηγορήσαντας. Ὅπερ οὔτε δίκαιον μὰ δί, οὔτ' εὐσεβὲς, τὸ θέλειν ἡμᾶς Ἕλληνας καὶ χριστιανοὺς ὄντας ἀπολέσαι, τῶν δὲ βαρβάρων καὶ ἀνομωτάτων ἐθνῶν προΐστασθαι. Οὐδὲ γαρ μικρὰ τὰ δεινὰ αἱ τοιαῦται κατηγορίαι ἡμῖν ἐνεποίησαν· ἅπερ δὴ σαφῶς ἐκ τῶν δὲ ἂν γνοίητε.

Ὁ Πρίγκιψ Ὑψηλάντης βουλόμενος καταστρατηγῆσαι τοὺς ὁμογενεῖς Ἕλληνας, καὶ προθυμοτέρους πρὸς ἐπίθεσιν καταστῆσαι, ἐν τῇ αὐτοῦ προκηρύξει προσέθηκε καὶ τὸ «*ἄλλη τις δύναμις ὑπερτέρα τῶν δικαιωμάτων ἡμῶν ὑπερασπίσεται,*» σοφῶς καὶ στρατηγικῶς ταῦτα προσθείς. Οὔτε γὰρ ὁ τύραννος ἡμῶν μικρὸς, καὶ ἡμᾶς αὐτοὺς ἐγίνωσκεν ἐκ πολλοῦ τοῦ χρόνου ἐπτοημένους, καὶ ὡς οὐκ ἦν ἄλλως ἐν ἑαυτοῖς γενέσθαι, καὶ γενναῖόν τι φρόνημα λαβεῖν κατὰ τῶν ἡμᾶς ἰσχυρῶς τυραννούντων. Ἔνθα δὴ καὶ προθύμως οἱ πλεῖστοι πρὸς ἐπίθεσιν παρεσκευάζοντο. Ὡς δὲ τὸ βασιλικὸν ἐκεῖνο θέσπισμα διεκηρύχθη, τὸ μηδεμίαν τὸν Πρίγκιπα Ὑψηλάντην βοήθειαν προσδοκᾷν, καὶ τὸ τόλμημ' αὐτοῦ εὐηθείας καὶ αὐθαδείας εἶναι, ἅπαντες οἱ Ἕλληνες ἀθυμίᾳ συσχεθέντες, ὤκνουν τῇ ἐπιχειρήσει. Τότε δὴ ὁ τύραννος αὐτίκ' ἐξαγριωθεὶς, φόνου τὰς Ἑλληνίδας τῶν πόλεων ἐνέπλησεν. Εἰ δὲ τὸ ψήφισμα τοῦτο οὐκ ἂν τότ' ἐγένετο, δίκην ἂν ὁ τύραννος ἤδη ἐδεδώκει, οὐδὲ τοσοῦτος λαὸς ἀπώλετ' ἂν ἴσως, ἁπανταχόθεν τῆς Ἑλλάδος τῆς ἐπιχειρήσεως γενομένης, ἀλλὰ καὶ ὁ Ὑψηλάντης αὐτὸς μετὰ πλειόνων ἐπολέμει τοῖς τυράννοις, καὶ ἐν εὐρυχώρῳ τῷ πεδίῳ, οὐχὶ δ' ἐξ ὀρέων. Ἀλλὰ ταῦτα μὲν οὕτω γεγεννημένα, οὐκ ἔνι ἄλλως γε νῦν γενέσθαι. Ἔστι δ' οὖν τὴν τῶν τυράννων καθ' ἡμῶν ὁρμὴν ἀναχαιτίσαι, κηδομένοις ὑμῖν τῶν ἔτι περιόντων, καὶ μήπω ὑπ' αὐτῶν ἀπολωλότων, διὰ τῆς πρὸς ἡμᾶς βοηθείας, ἧσπερ ἡμεῖς τε δίκαιοι ἐσμὲν τυχεῖν, καὶ ὑμεῖς ἡμῖν πέμψαι.

Ἐβουλόμεθα δ' ἡμεῖς, εἰ καὶ μηδὲν δεινὸν ἕτερον ἐπάσχομεν ὑπὸ τῶν τυράννων τούτων, καὶ μὴ προῃροῦν θ' οὗτοι σύμπαντας ἡμᾶς ἀπολέσαι, μέγιστον δεινὸν ὁμᾶς ὑπολαμβάνειν, τὸ δουλεύειν ἡμᾶς τυραννικωτάτοις καὶ ἀνομωτάτοις δεσπόταις. Ἴστε γὰρ δήπου, ὅτι διὰ τοὺς ἡμετέρους προγόνους ἡ Εὐρώπη εὐνομουμένη, καὶ εὐδαίμων ἀπεκατέστη. Ἐξ ἐκείνων καὶ γὰρ σοφία, ἐπιστῆμαί τε καὶ τέχναι προελθοῦ-

σαι, τὸ εὐδαιμόνως ζῆν τοῖς ἐν Εὐρώπῃ παρεσκεύασαν. Μὴ τοίνυν δι᾽ οὓς τῆς εὐδαιμονίας τετυχήκατε, τούτων τοὺς ἀπογόνους ἀνέχεσθε ὑπὸ βαρβάρων ἀπόλλυσθαι, καὶ μηδὲ μικρᾶς βοηθείας αὐτοὺς ἀξιοῦν. Ἐῶμεν λέγειν, ὅσον οἱ ἡμέτεροι πρόγονοι συνεισήνεγκαν ταύτῃ τῇ Ἱερωτάτῃ θρησκείᾳ, δι᾽ ἧς καὶ τὰ δίκαια παρὰ πᾶσι τοῖς ταύτῃ συστοιχοῦσιν ἀσφαλέστερα καθίσταται, καὶ τὰ ἑκάστῳ ἐμπεδοῦται καθήκοντα, καὶ ὁ ἀνθρώπινος βίος εἰς τὸ εἰρηνικώτερον μεταῤῥυθμίζεται·

Ἀλλ᾽ εἰ καὶ μηδὲν ἄντις ἔχοι τοιοῦτόν τι εἰπεῖν προσγεγενῆσθαι ὑμῖν ἐκ τῶν ἡμετέρων προγόνων, διὰ δέ γε τὸ ὁμοθρήσκους ἡμᾶς ὑμῖν εἶναι, ἐχρῆν σῶσαι. Τὸ γὰρ τῶν οἰκείων καὶ τῶν ἰδίων προνοεῖσθαι, νόμῳ τῷ θείῳ ὑμῖν ἐντέλλεται, διαῤῥήδην τοῦ Παύλου βοῶντος «*δεῖ τοὺς πιστοὺς τῶν οἰκείων, καὶ τῶν ἰδίων προνοεῖσθαι*». Τί γὰρ μᾶλλον οἰκειότητος, καὶ ταὐτότητος παραστατικόν, ἢ τὸ τῶν αὐτῶν θείων χαρίτων ἐξίσου μετέχειν; τί δ᾽ ἄλλο πέφυκε τοσοῦτον συνδέειν τοὺς ἀνθρώπους, ὅσον τὸ ὁμόπιςον; δεῖ οὖν τοῖς θείοις νόμοις πειθομένους, πρὸς βοήθειαν ἡμῶν σπεῦσαι, μηδὲ τῶν ἡμετέρων προγόνων χείρους φανῆναι, οἵπερ πολλάκις ἡμᾶς ἠβουλήθησαν σῶσαι, καίτοι οὐδὲ τηλικαύτην δύναμιν ὁμοῦ ἔχοντες σύμπαντες, ἡλίκην ἕκαστος ὑμῶν χωρὶς ἤδη ἔχετε, καὶ τοῦ τυράννου πολλῷ προέχοντος, ἀλλ᾽ ὅμως οὐκ ὤκνησαν τῆς τοῦ τυράννου δυνάμεως πεῖραν λαβεῖν, καὶ εἴπου δυνηθεῖεν τῆς δεινῆς αἰχμαλωσίας ἡμᾶς ἐξελεῖν. Ὤοντο γὰρ δεῖν ὑπὲρ τῶν οἰκείων κινδυνεύειν μᾶλλον, τοῖς θείοις νόμοις πειθόμενοι, ἢ τούτους προέσθαι ἀπολωλέναι, τῶν θείων ὀλιγωροῦντες. Τοιαυτην γνώμην ἔσχον, ὦ ΚΡΑΤΙΣΤΕ ΑΛΕΞΑΝΔΡΕ, ἅπαντες οἱ σοὶ πρόγονοι· ὁμοίαν καὶ παραπλησίαν τούτοις εἶχε καὶ ὁ Ἥρως ἐκεῖνος Ἰωσὴφ, οὗ σὺ διάδοχος εἶ, ὦ ΓΑΛΗΝΟΤΑΤΕ ΦΡΑΝΓΚΙΣΚΕ. Ταῦτα τούτοις ἐφρόνει καὶ ὁ μέγας Λουδοβίκος ὁ ιϛ΄, οὗ τὸν θρόνον σὺ διεδέξω,

ὦ ΠΡΑΟΤΑΤΕ ΛΟΥΔΟΒΙΚΕ ΙΗʹ. Καίτοι γ᾽ ἐκεῖνοι οὐχ ἱεράντινα πρὸς ἀλλήλους εἶχον συμμαχίαν, πρὸς τὴν τῆς Εὐρώπης ἀφορῶσαν εὐδαιμονίαν, οὔθ᾽ ὁ τύραννος ἦν ἡμῖν τοσοῦτον βαρὺς καὶ ἀφόρητος, ὅσον ἐν τούτοις τοῖς χρόνοις, ἀλλ᾽ οὐ δίκαιον ἔκρινον ἡμᾶς τυραννεῖσθαι, τῶν λοιπῶν χριστιανῶν ἐν εὐνομίᾳ πολιτευομένων. Ἡμεῖς δὲ συνδεδεμένοι ἀλλήλοις ὄντες, καὶ τηλικαύτην δύναμιν ἔχοντες, ἡλίκην οὐδεὶς πρὸ ἡμῶν, καὶ τὰ αἴσχιστα δρῶντες ἡμᾶς πάσχοντας, οὐ σώσετε; ὁρᾶτε δὴ, ὦ ΕΥΣΕΒΕΣΤΑΤΟΙ καὶ ΧΡΙΣΤΙΑΝΙΚΩΤΑΤΟΙ ΒΑΣΙΛΕΙΣ, ὡς εἴπερ ἡμᾶς κινδυνεύοντας ἐάσετε, τοῖς τυράννοις ἔσεσθε καθ᾽ ἡμῶν βεβοηθηκότες, κἂν αὐτοῖς ἔργῳ μὴ βοηθήσητε. Ἴστε γὰρ τὸ πλῆθος ὅσον τοῦ ἀσεβάστου τούτου ἐν τῇ Ἀσίᾳ ἔθνους· ἐκεῖθεν δὲ συλλέξας ἄπειρόν τινα στρατὸν, ἐπ᾽ ἀδείας ἐφ᾽ ἡμᾶς βαδιεῖται ὁ τύραννος, καὶ σύμπαντας ἀπολέσαι βουλήσεται. Καὶ οὐκ αὐτὸς ἔσται ὁ ἀπολέσων, ἀλλὰ καὶ ὁ δυνάμενος μὲν αὐτὸν κωλῦσαι, μὴ κωλύσας δέ. Εἶτα τοῦτ᾽ ἀναμενεῖτε, ὦ ΧΡΙΣΤΙΑΝΙΚΩΤΑΤΟΙ ΒΑΣΙΛΕΙΣ, βουλήσεσθε ἡμᾶς ἀπολωλέναι; ἀλλ᾽ ἐῶμεν λέγειν, ὁποία πότ᾽ ἂν ἔσοιτ᾽ ἐντεῦθεν ἡ ὑμετέρα παρὰ τοῖς ἐπιγινομένοις δόξα, σκέψασθε δὲ, οἷα τὰ ἐντεῦθεν ἐκβησόμενα. Εἰ μὲν γὰρ ἐάσετε τοὺς τυράννους ἐξαφανίσαι (ὃ μὴ γένοιτο), ἡμᾶς τῆς Ἑλλάδος, αὐτίκα τοὺς ἐκ τῆς Ἀσίας Ὀθωμανοὺς μετοικίσουσιν εἰς τὴν Ἑλλάδα πλείστους ὅσους οἱ τύραννοι, καὶ ἕξετε ὁμόρους ὀλέθρους ἐν τῇ Εὐρώπῃ. Οὐ γὰρ παμπληθεῖς ἐσόμενοι βουλήσονται εἰρήνην σχήσειν πρὸς ϑ᾽ ὑμᾶς, καὶ πρὸς τοὺς ὑμετέρους ἀπογόνους, ὅπου γε καὶ πρότερον ἠγωνίσθησαν πολλάκις καὶ τὰ λοιπὰ τῆς Εὐρώπης ἐπιδραμεῖν. Καὶ εἰ μὴ ὁ Θεὸς αὐτοὺς τότ᾽ ἐκώλυσεν, ἐδεδούλωτ᾽ ἂν πάλαι ὑπ᾽ αὐτῶν ἅπασα ἡ Εὐρώπη. Οὐδ᾽ ἄδηλον δ᾽ ὑμῖν, ὡς πολὺν χρόνον ἔσχον κατακρατήσαντες τὴν Ἰσπανίαν, ὡς καὶ εἰς τὸ κέντρον τῆς Γαλλίας προυχώρησαν, καὶ αὐτὴν τὴν Γερμανίαν ἐδήωσαν, ἀφικόμενοι δὶς μέχρι

καὶ αὐτῆς τῆς Βιέννης. Φύσει γὰρ τὸ βάρβαρον ἀδικίᾳ καὶ πλεονεξίᾳ χαίρει. Εἰ δὲ καὶ ἐξουσίαν προσπεριβάλλεται, οὐδένα ὅρον τίθεται τῶν ἀδικημάτων. Ἐὰν δ' ἡμᾶς σώσητε, καὶ βοηθήσητε συγκαθαιροῦντες ἡμῖν τὸν τύραννον, οὐδὲν τοιοῦτον δεινὸν δέος ἔσται παθεῖν τοὺς ὑμετέρους ἀπογόνους, ἡμῶν τῶν αὐτοῖς ὁμόρων ὁμοθρήσκων ὄντων, καὶ τὰ μέγιστα ὑφ' ὑμῶν εὐεργετηθέντων. Μάλιστα δὲ καὶ πρόβλημα τοὺς Ἕλληνας ἡμᾶς ἕξουσι πρὸς τοὺς ἐκ τῆς Ἀσίας βαρβάρους, οἵπερ ἐκ τοσούτων αἰώνων οὐδέποτ' ἐπαύσαντο καταδουλούμενοι τὴν Εὐρώπην. Δεῖ οὖν τὰ μέλλοντα προορᾶν, καὶ τοὺς ὑμετέρους ἀπογόνους μὴ ἐᾶν διακινδυνεύειν, εἰδότας τῶν ἀνθρωπίνων πραγμάτων τὸ ἄστατον, καὶ εὐμετάβολον.

Εἰ δέ τις οἴεται ταῖς πρὸς αὐτοὺς συνθήκαις τὰ τῶν ὑμετέρων ἀπογόνων ἀσφαλῶς ἕξειν, οὐ σώφρονι λογισμῷ ὁ τοιοῦτος χρῆται. Καὶ γὰρ οὐδέποτε τὸ βάρβαρον οἶδε συνθήκας φυλάττειν, ὅθ' ἑαυτὸν οἴεται τῶν ὁμόρων προέχειν. Μυρίας γὰρ ὅσας συνθήκας ἐπεποίητο πρὸς τοὺς ἐν Κωνσταντινουπόλει ἡμῶν βασιλεῖς, ἀλλ' ἐπ' οὐδεμιᾷ ἔμενε μὴ παραβεβασμένη, ὅθ' ἑώρα τούτους ἔχοντας ἀδυνάτως, καὶ ἐπὶ ταῖς τυχούσαις αἰτίαις, ἄχρις οὗ καὶ τὴν βασιλείαν αὐτῶν, καὶ ἡμᾶς, καὶ σφᾶς αὐτοὺς ἀπώλεσαν οἱ ἡμέτεροι χρηστοὶ βασιλεῖς, οἰόμενοι τὰ πρὸς τοὺς βαρβάρους πιστῶς ἔχειν. Καὶ οὐδὲν θαυμαστὸν, εἰ βάρβαροι καὶ ἀσεβεῖς ὄντες τὰς συνθήκας ἠθέτουν, θαυμαστὸν δ' ὅτι οἱ ἐν Κωνσταντινουπόλει βασιλεῖς οὐδόλως ἐννόησαν, ὡς τὰ τῶν ἀσεβῶν καὶ βαρβάρων ἀείποτ' ἄπιστα εἶναι συμβαίνει. Ὃ γὰρ παρ' ἡμῖν εὐσεβὲς καὶ ὅσιον, τοῦτο παρ' αὐτοῖς ἄδικον καὶ ἀσεβές. Τοιούτων δ' ὄντων τῶν παρ' ἑκατέροις ἐναντίων φρονημάτων, πῶς ἄντις συνθήκην, ἢ εἰρήνην, ἢ ὁποιανδήποτε συμμαχίαν τὴν πρὸς αὐτοὺς καλῶς ἕξειν φήσειεν; ἢ οὐ τὰ τοιαῦτα πιστὰ οἱ ἡμέτεροι βασιλεῖς οἰηθέντες ἀπώλοντο; εἰ δὲ ταῦτ'

ἄπιστα ἐκεῖνοι ἡγοῦντο, τάχα ἂν αὐτοίτ' ἐσώζοντο, καὶ ἡμεῖς τοσοῦτον χρόνον οὐ διεκινδυνεύομεν. Καὶ εἴπερ τοτ' αὐτοὺς ἀπώλεσε τοῦτο, ἀτοπώτατον ἂν εἴη νομίζειν τῶν εἰσέπειτα πραγμάτων σωτήριον. Τὰ γὰρ προϋπάρξαντα, ὁποῖά ποτ' ἂν ἦ ταῦτα, τὴν τῶν μελλόντων διάγνωσιν τοιάνδε ἢ τοίανδε, τοῖς ὀρθῶς βουλευομένοις παρέχεται. Διὸ δεῖ τὸ πόῤῥω ἐγγὺς ποιεῖν, ἀσφαλῶς περὶ τῶν ὑμετέρων βουλευομένους πραγμάτων, καὶ ἡμῖν τὴν ταχίστην βοηθεῖν.

Ἀλλὰ νὴ δία γε φήσειεν ἄντις ἴσως, ὡς εἰρήνην πρὸς ὑμᾶς ἄγουσιν ἤδη, καὶ οὐ δεῖ ταύτην λύειν ἐπ' οὐδεμιᾷ αἰτίᾳ. Θαυμάζομεν δ' ἡμεῖς, ὦ ΠΡΑΟΤΑΤΟΙ ΒΑΣΙΛΕΙΣ, εἰ πλεονέκτης φύσει, καὶ βάρβαρος ἀνὴρ ἕλοιτ' εἰρήνην πρὸς ὑμᾶς ἄγειν, δυνάμενος ἀδικεῖν καὶ πλεονεκτεῖν. Οὐ γὰρ αὐτὸς πρὸς Ὑμᾶς εἰρήνειν ἄγει, ἀλλ' Ὑμεῖς πρὸς αὐτόν. Εἰ γὰρ οὗτος, ἥν περ πρότερον, καὶ νῦν εἶχε δύναμιν, οὐκ ἂν ἡσυχίαν ἦγε, κατεδῄου δ' ἐπιτρέχων ἅπασαν τὴν Εὐρώπην; ὁρῶν μέν τοι τὴν αὐτοῦ ἀσθένειαν, ἐπάναγκες ἡσυχάζει. Ἔπειτα δὲ, οὐχ ἡμεῖς αἴτιοι τοῦ τὴν πρὸς αὐτὸν λυθῆναι εἰρήνην, ἀλλ' αὐτὸς ἐκεῖνος, περί τε τὰ θεῖα ἀσεβῶν, καὶ περὶ ἡμᾶς αὐτοὺς ὑβρίζων, τῆς ἱερᾶς καὶ θείας θρησκείας περιφρονῶν. Οὐχ ἥκιστα δ' ἄντις ἐκεῖνον εἴποι λύειν τὴν εἰρήνην, καὶ διὰ τὸν τοσοῦτον φόνον τῶν ὁμοπίστων χριστιανῶν. Ἢ τίν' ἄλλην ταύτης μείζω αἰτίαν ζητήσειεν ἄντις καὶ δικαιοτέραν, καὶ εὐσεβεστέραν, ὁρῶν τοὺς θείους ναοὺς, τοὺς μὲν καιομένους, τοὺς δὲ χριστιανῶν αἵματι περιῤῥεομένους, γυναῖκας δὲ καὶ παρθένους, καὶ βρέφη σφαζομένας, αἵ περ μήτ' ἠδίκησάν ποτε τὸν τύραννον, μήθ' ὅπλα λαβεῖν δύνανται; εἰ οὖν ἡμᾶς τοὺς ἐνόπλους ἐφόνευε, δίκαιον ἂν ἦν καὶ τόθ' ὑμᾶς ἀγανακτῆσαι, καὶ δίκην παρ' αὐτοῦ αἰτεῖν, διὰ τὸ ὑπὲρ τῆς ζωῆς ἡμῶν τῶν ὅπλων ἔχεσθαι, μήτοιγε δὴ διὰ τὸν τῶν ἀθωοτάτων θάνατον, καὶ διὰ τὴν πρὸς τὰ θεῖα ὀλιγωρίαν. Ἢ πηνίκα, ὦ πρὸς θεοῦ, πηνίκα δόξειεν ἄν τις μᾶλ-

λον εὐσεβεῖν, μᾶλλον τῶν θείων φροντίζειν, οὐχὶ δ᾽ ὅτε τοὺς περὶ τὰ θεῖα τιμωρεῖται ἀσεβοῦντας; πηνίκα δ᾽ ἄν τις ὀφθείη φιλάνθρωπος ὤν, οὐχὶ δ᾽ ὅτε τοῖς τοὺς ἀθώους φονεύουσιν ἐπεξέρχεται; καὶ μὴν ὁ Μωϋσῆς ἐκεῖνος ἰδὼν Αἰγύπτιόν τινα τῶν ὁμοθρήσκων Ἑβραῖον τύπτοντα, τὸν ὑβριστὴν πατάξας, δίκαια καὶ εὐσεβῆ ποιῶν νενόμισται. Δικαιότερα δ᾽ ἂν καὶ καὶ εὐσεβέστερα ποιεῖν Ὑμεῖς δόξετε, εἴπερ βουλήσεσθε σὺν ἡμῖν πατάξαι, οὐ τύπτοντας, ἀλλὰ τοὺς ὁμοθρήσκους Ὑμῖν φονεύοντας, τοὺς πυρπολοῦντας τοὺς θείους ναοὺς, καὶ τὰ ἅγια τοῖς ποσὶ καταπατοῦντας. Ὁρᾶτε γὰρ δὴ, μὴ βουλόμενοι τὴν πρὸς τοὺς ἀσεβεῖς λῦσαι εἰρήνην, (φεῦ ἡλίκα τὰ δεινὰ, καὶ ἄλλως οὐκ ἀκίνδυνα λέγειν ἡμᾶς ἀναγκάζει, ἐκτὸς εἴπερ ἦμεν κινδύνων,) μὴ λάθητε λύοντες τὴν πρὸς τὸ θεῖον εἰρήνην. Δεῖ γὰρ τοὺς εὐσεβεῖς τοὺς περὶ τὰ θεῖα ὀνειδισμοὺς οἰκείους λογιζομένους, ἐπεξιέναι τοῖς ὀνειδίζουσιν.

Ἄριστα δ᾽ ἂν ἐποιεῖτε, εἰ καὶ μηδὲν ἀσεβὲς, μηδὲ τοσοῦτον φόνον ποιοῦντα, Ὑμεῖς αὐτοὶ τὴν πρὸς τὸν τύραννον εἰρήνην ἐλύετε. Τέρας γὰρ τυραννίας καὶ ἀνομίας ἐστιν, οὐχὶ δὲ βασιλεύς. Τί δὲ κοινὸν βασιλεῦσι νομιμωτάτοις καὶ εὐσεβεστάτοις πρὸς τύραννον ἀνομώτατον καὶ ἀσεβέστατον; ἡμεῖς μὲν μὰ δίαγ᾽ οὐδὲν οἰόμεθα· δοκεῖ δ᾽ ἡμῖν τὸ θεῖον τουτὶ ὄνομα βασιλεῦσι πρέπον, οἷοί περ Ὑμεῖς ἐςε, βλασφημεῖσθαι τὰ μέγιστα, ἀνόμῳ τινὶ παρ᾽ ἀξίαν ἐπιλεγόμενον. Μὴ οὖν ἀνέχεσθε ὁμόθρονον ἐν Εὐρώπῃ ἔχειν τοῦτον τὸν ὀλεσίβροτον· δι᾽ ὃν ἡ οἰκουμένη μιασμάτων πεπλήρωται, δι᾽ ὃν τοσοῦτοι φόνοι ἄθεσμοι, καὶ ὅλον τὸ τῶν Ἑλλήνων γένος κινδυνεύει ἀπόλλυσθαι. ἀλλ᾽ ἡμῖν βοηθεῖται αὐτὸν συγκαθαιρησόμενοι. Τούτου δὲ καθαιρεθέντος, ἔσται ἡμῖν βασιλεὺς, ὃς ἂν δόξῃ εὐσεβέστατος ὢν, καὶ ἐννομώτατος· οἵτε νόμοι καθ᾽ οὓς δεήσει ἡμᾶς πολιτεύεσθαι, οὕτω τεθήσονται ὥστε ταὐτὰ συνοίσοντα καὶ βλάψοντα ἡμῖν τε καὶ ὑμῖν εἶναι. Οὐδὲ γὰρ ἀληθές ἐςιν, ὅπερ τινὲς λέγουσιν, οὐκ ὀρθῶς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

λογιζόμενοι, ὅτι τούτου τυραννεύοντος, τὰ τῆς Εὐρώπης ἐν ἰσοῤῥοπίᾳ καθέστηκεν, ἄλλως δ' ἀντίῤῥοπα ταῦτ' ἔσται. Ὅτῳ μὲν δὴ ταῦτα τεκμαίρονται, ἡμῖν γε ἄδηλον. Δῆλον δ' ὅτι εὐνομουμένου βασιλέως ὄντος, τὰ τῆς ἰσοῤῥοπίας μᾶλλον ἔσται βάσιμα, ἢ τούτου τυραννεύοντος. Τὸν μὲν γὰρ μηδένα νόμον ἔχοντα, τοῖς πᾶσι συνέβαινε δυσμενῆ εἶναι, καὶ τὴν πρὸς αὐτὸν πᾶσαν κοινωνίαν τῆς βελτίςης ἐξίστασθαι τάξεως. Ἡμῶν δ' ἐννόμων ἐσομένων, καὶ ταὐτὰ συμφέροντα ὑμῖν τε καὶ ἡμῖν ὑπαγορευόντων, ἅπαν τοὐναντίον ἔσται, καὶ ταῦθ' ὑπὸ πάντων ὑμῶν εὐεργετηθέντων. Ἀλλὰ περὶ μὲν τούτων πόλλ' ἔχοντες εἰπεῖν, ὅμως παραλείπομεν, μηδόλως ἀληθῆ ὑπολαμβάνοντες τὰ περὶ τῆς ἰσοῤῥοπίας καὶ ἀντιῤῥοπίας ὑπ' ἐνίων λεγόμενα, ἐξαιτούμεθα δὲ τὴν παρ ὑμῶν βοήθειαν, καὶ δικαιότατα, καὶ εὐσεβέστατα, ἐξ ὧν εἰρήκαμεν, γεννησομένην.

Λογίσασθε δή, ὦ ΕΥΣΕΒΕΣΤΑΤΟΙ ΒΑΣΙΛΕΙΣ, ὡς οὔτε μεγάλην ταύτην αἰτοῦμεν, καὶ ῥάστην ἐκ τοῦ παραχρῆμ' ἂν ἡμῖν πεμφθῆναι. Οὐδὲ γὰρ μεγάλης ταύτης δεόμεθα ἐν τῷ παρόντι, καὶ ἡ τοῦ τυράννου δύναμις τοσοῦτον παρ' ἑαυτῆς ἀσθενής ἐστιν, ὅσον δέει συσχεθέντος, ὑφ' ἡμῶν μόνον ἐν κινδύνῳ καθέστηκεν. Οὐδὲ γὰρ ἄλλο ὁ τῶν ἀθωοτάτων πολὺς οὗτος φόνος, ἢ ἀσθένεια ἄντικρυς, καὶ τελεία ἀπόγνωσις τοῦ μὴ δύνασθαι τοὺς ἐν ὅπλοις ἡμᾶς βλάψαι. Ὁ μὲν γὰρ τὸν δῆθεν αἴτιον δυνάμενος τιμωρήσασθαι, οὐδέποτε κατεδέξαιτ' ἂν τοὺς ἀναιτίους φονεύειν· ὁδ' ἀπογνοὺς ἑαυτὸν, ἅπαν τὸ προστυχὸν διαφθείρων, οἴεται δίκας λαμβάνειν. Εἰ τοίνυν μικράν τινα πέμψετε βοήθειαν, ἅλις ἔςαι ἡμῖν πρός τε τὴν τῶν τυράννων καθαίρεσιν, καὶ πρὸς τὴν τῶν φιλτάτων ἡμῶν σωτηρίαν. Τάχα δ' ὁ τύραννος ἀκούσας Ὑμῶν ἑτοίμων πρὸς βοήθειαν ὄντων, αὐτίκ' εἰς Ἀσίαν οἰχήσεται, τὴν θ' Ἑλλάδα καταλιπὼν ἀμαχητί, καὶ τὰ φίλταθ' ἡμῶν ζῶντα, δέει τῆς τῶν βοηθησόντων ἡμῖν παρουσίας,

καὶ τοῦ μὴ αὐτὸν, μήδ' ἐν τῇ Ἀσίᾳ ἐάσετε μένειν. Εἰδέ γε μὴ βουλήσετε, ἀλλὰ κάκις' ἔσται ἀπολλούμενος τὴν ταχίστην, τῶν Ἑλλήνων, τότε εὐθυμοτέρως πολεμησόντων, καὶ οὐχ ὑπὲρ τοῦ σωθῆναι, καὶ σῶσαι τὰ φίλτατ' ἐσομένου τοῦ πολέμου, ἀλλὰ καὶ περὶ τοῦ τιμωρήσασθαι τοὺς τυράννους, δι' ὅσα δεινὰ ἡμᾶς πεποιήκασι. Μήδ' ὑπολαμβάνετε, ὦ ΚΡΑΤΑΙΟΤΑΤΟΙ ΒΑΣΙΛΕΙΣ, τῶν πραγμάτων εἰς ταύτην ἐφιγμένων τὴν ἀκμὴν, ἐνέσται τοῦ λοιποῦ τούς τε κακίστους τυράννους, καὶ ἡμᾶς τοὺς Ἕλληνας ἐν τῇ Ἑλλάδι κατοικεῖν. Ἀνάγκη γὰρ πᾶσα, ἤτοι ἡμᾶς ἀπολωλέναι (ὅπερ ἀπεύχεσθαι δίκαιον), ἢ τοὺς τυράννους ἀποδράντας ἐκ τῆς Ἑλλάδος σωθῆναι. Εἰδέ γε μὴ βουλήσονται ὑφ' ὑμῶν καὶ ἡμῶν παθεῖν αὐτοὺς τὰ κάκιστα. Δεῖ δὲ τὴν ταχίστην ἡμῖν βοηθεῖν τῶν ἐν Κωνσταντινουπόλει, καὶ ἁπανταχοῦ τῆς Ἑλλάδος, καὶ μικρᾶς Ἀσίας ἀναμεμιγμένων τοῖς τυράννοις χριστιανῶν, ἔτι ζώντων. Μὴ προλαβόντες οἱ ἐξωλέστατοι καὶ τούτους οἰκτρῶς ἀπολέσωσι.

Σκέψασθε δὴ, ὦ ΚΡΑΤΙΣΤΟΙ τῆς Εὐρώπης ΒΑΣΙΛΕΙΣ, καὶ σύγε, ὦ ΕΥΔΑΙΜΟΝ καὶ ΦΙΛΑΝΘΡΩΠΟΣ ΑΓΓΛΙΑ, δι' ὀλίγης τῆς πρὸς ἡμᾶς βοηθείας, ἡλίκην παρὰ πᾶσιν ἀνθρώποις δόξαν κτήσεσθε· περὶ ἧς σπουδαστέον μᾶλλον ἐς δύναμιν, ἢ περὶ οἱουδήποθ' ἑτέρου τῶν καλουμένων ἀγαθῶν. Τί γὰρ ἄλλο δόξῃ ἀγαθῇ ἐφάμιλλον; ποία δὲ μείζων ἑτέρα δόξα τοῦ τῶν θείων πραγμάτων φροντίζειν, καὶ τοῦ σωτῆρας καὶ εὐεργέτας κινδυνευόντων γενέσθαι; τὸ μὲν γὰρ τὸν οὐρανὸν πρὸς εὐλογίαν ὑμῶν ἐπινεύσει, τὸ δὲ τῶν θείων προσωνυμιῶν ὑμᾶς ἀξιώσει. Ὅπερ οἱ ὑμέτεροι ἐγνωκότες πρόγονοι, καί τοι τῆς ἐπιχειρήσεως μειζόνων δαπανημάτων ἀπαιτούσης, οὐδ' ἐκτὸς οὔσης κινδύνων, καὶ ἐπ' ἀδήλοις τοῖς ἐκ ταύτης ἐσομένοις, ᾤοντο δεῖν ὅμως πάντα φέρειν καὶ πόνον, καὶ κίνδυνον, ὑπὲρ τῆς ἀγαθῆς ταύτης καὶ θείας δόξης· μὴ οὖν ὑμεῖς γε τούτων ἀπόγονοι ὄντες, καὶ πλεῖστα καὶ κάλ-

λιστα ἐκείνων εἰργασμένοι ἔργα, ἐλλείπειν εἰς τοῦθ' ὅπερ ἐκεῖνοι περὶ πλείστων ἐποιοῦντο βούλεσθε! Μηδὲ ἀκινδύνως τε καὶ δι' ὀλίγης τῆς πρὸς ἡμᾶς βοηθείας ἐς τὸ τέλειον τῆς μεγίστης εὐκλείας, καὶ δόξης μὴ τυγχάνειν. Ἐν δεῖ γὰρ αὐτῇ τοῦ καὶ τὴν Ἑλλάδα εὐδαίμονα καταστῆσαι καὶ τοὺς ἐν Κωνσταντινουπόλει, ἐῶμεν λέγειν τοὺς ἐν Ἀφρικῇ, καὶ ἐν ἁπάσῃ τῇ Ἀσίᾳ ἀπανθρώπως κτεινομένους ὑπὸ τῶν τυράννων τούτων, σῶσαι· ἢ πότε πρὸς Θεοῦ, τούτους βοηθήσετε, ὦ ΘΕΙΟΤΑΤΟΙ ΒΑΣΙΛΕΙΣ; ὅτε νὴ δία σύμπαντες φονευθήσονται, τότε βούλεσθε τοὺς ἀπανθρώπους φονεῖς τιμωρήσασθαι; ἀλλὰ τίς Ὑμῖν τόθ' ὁμολογήσει χάριτας; οὐ τοσοῦτον δι' ἡμᾶς τοὺς ἐν ὅπλοις ἀναγκαία ἡ παρ' Ὑμῶν βοήθεια· ἡμεῖς γὰρ μαχόμενοι ἀνδρείως ἀποθανούμεθα, εὖ εἰδότες, ὡς οὐδεὶς οὕτως ἔνδοξος θάνατος, οὐδὲ μνημεῖον λαμπρότερον τοῦ ὑπὲρ πίστεως, καὶ πατρίδος, καὶ φιλτάτων, καὶ ἐλευθερίας ἀποθνήσκειν, ἀλλ' ὑπὲρ τῶν τὰς αὐτὰς τοῖς ὀλέθροις τυράννοις οἰκούντων πόλεις· οἵπερ τὰ ὅπλα περιῃρημένοι, καὶ μηδεμίαν καταφυγὴν ἔχοντες, ἐλεεινῶς θανατωθήσονται. Ἴστε γὰρ ἀκούσαντες τὴν τῶν τυράννων ἀγριότητα, καὶ θηριωδίαν, ἐξ ὧν οἱ σεβάσμιοι ἐκεῖνοι ἄνδρες, ὁ Πατριάρχης, φαμὲν, καὶ οἱ λοιποὶ Ἀρχιερεῖς, καὶ τοσοῦτος λαὸς ἔπαθον ἐλεεινότατα. Νομίσατε πρὸς θεοῦ, αὐταῖς γε ταῖς διανοίαις, ἐπεὶ παρόντες οὐκ ἦτε, ὁρᾷν τοὺς θείους τούτους ἄνδρας, τοὺς μηδέν τι ἀδικήσαντας, ἀπὸ τοῦ θείου ναοῦ ἀποσπωμένους, καὶ ἐλεεινῶς σὺν αὐταῖς ταῖς ἱεραῖς ἐσθῆσιν ἑλκομένους, παιομένους, ὑβριζομένους, καὶ μόλις πρὸς οὐρανὸν τὰ ὄμματα αἴροντας, μάρτυρ' αὐτὸν ἐπικαλουμένους, οἷα πάσχουσιν ἀδίκως, καὶ οὕτως ἐλεεινῶς ἀπαγχομένους! Νομίσατε βλέπειν τὸν θεῖον ναὸν αἵματι χριστιανῶν περιῤῥεόμενον, τοὺς μὲν ἐκεῖσε ἀσπαίροντας, τοὺς δ' ὧδ' ἐκπνέοντας, αἵματι ἀποπνιγομένους, ἄλλους δ' ἀλλαχοῦ σφαττομένους, ὡς ἀρνία ἄκακα, μήθ' ἑαυτοῖς ἐπαμῦναι, μήτ' ἐκ

φυγεῖν τοὺς ὠμοὺς τυράννους ἔχοντας! Τούτων τῶν ἀπανθρώπων πράξεων τῶν ὑπὸ τῶν τυράννων ἐνθυμηθέντες, βοηθήσατε ἡμῖν τὴν ταχίστην, ὦ ΚΡΑΤΙΣΤΟΙ ΒΑΣΙΛΕΙΣ! Τούτουν τιμωρήσασθε ὑπὲρ τῶν ἀθωοτάτων, ὑπὲρ τῶν ἀδυνάτων, καὶ ἐλεεινῶς κτεινομένων, ὑπὲρ τῆς ἱερωτάτης αὐτῆς θρησκείας, καὶ ὑπὲρ τῆς Ὑμετέρας ἀγαθῆς δόξης!

Ἐν Ἑλλάδι ͵ΑΩΚΑ΄. Μαΐου ΚΗ΄.

ΤΕΛΟΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ